## 12 ΜΑΪΟΥ 2024

### Κυριακῇ Ἀντίπασχα

«Τὰ ἐγκαίνια τῆς (καθ᾿ ἑβδομάδα ἀνακυκλουμένης) ἑορτῆς τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, καὶ ἡ τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ ψηλάφησις καὶ σωτήριος ὁμολογία», Ἐπιφανίου Κύπρου, Γερμανοῦ Κων/πόλεως.

Ἑωθινὸν Α΄.

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

ὁ Ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν...

τὸ Χριστὸς ἀνέστη ἐκ νεκρῶν… (ἐκ γ΄)

ὁ Ἀναγνώστης· Ἅγιος ὁ Θεός..

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾿ ἣν ἐκφώνησις·

*Ὅτι πρέπει σοι πᾶσα δόξα...*

Ἦχος βαρύς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

### ΑΠΟΛΥΤΙΚΙΑ

Ἀπολυτίκιον. Ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ μνήματος ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι᾿ αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος. (γ΄)

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

*Ὅτι σὸν τὸ κράτος...*

* * *

### ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τῷ φόβῳ τῶν Ἑβραίων, κεκρυμμένων τῶν Μαθητῶν, καὶ ἐν τῇ Σιὼν συνηγμένων, εἰσῆλθες πρὸς αὐτοὺς Ἀγαθέ, καὶ ἔστης κεκλεισμένων τῶν θυρῶν, ἐν μέσῳ αὐτῶν χαροποιὸς καὶ ὑπέδειξας αὐτοῖς τὰς χεῖρας, καὶ τῆς ἀχράντου σου πλευρᾶς τοὺς μώλωπας, λέγων τῷ ἀπιστοῦντι Μαθητῇ· Φέρε τὴν χεῖρά σου καὶ ἐρεύνα, ὅτι αὐτὸς ἐγώ εἰμι, ὁ διὰ σὲ παθητός. (δίς)

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ὁ αὐτός. Τὸν τάφον σου Σωτήρ.

Ἐπέστης ἡ ζωή, τῶν θυρῶν κεκλεισμένων, Χριστὲ τοῖς Μαθηταῖς, καὶ πλευρὰν ὑπεδείκνυς, καὶ χεῖράς σου καὶ πόδας σου, τὴν ἐκ τάφου σου Ἔγερσιν, προπιστούμενος· ἀλλ᾿ ὁ Θωμᾶς οὐχ εὑρέθη· ὅθεν ἔλεγεν· Ἢν μὴ θεάσωμαι τοῦτον, οὐ πείθομαι τοῖς λόγοις ὑμῶν. (δίς)

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ὅμοιον.

Ἰδών μου τὴν πλευρὰν καὶ τὰς τρήσεις τῶν ἥλων, Θωμᾶ, τί ἀπιστεῖς, τῇ ἐμῇ Ἀναστάσει; ὁ Κύριος

ἔλεγεν ἀναστὰς ἐκ τοῦ μνήματος, ὀπτανόμενος, τοῖς Ἀποστόλοις ἀῤῥήτως· ὁ δὲ Δίδυμος, πεισθεὶς ἐβόα τῷ Κτίστῃ· Θεός μου εἶ καὶ Κύριος. (δίς)

* * *

Εὐλογητάρια οὐ ψάλλονται
χάριν τῆς δεσποτικῆς ἑορτῆς.

* * *

## ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

οἱ Ἀναβαθμοί· τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν

Προκείμενον. Ἦχος δ´. Ψαλμὸς η´ (8)

Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σου Σιών.

Στίχ. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου.

Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, ...

* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

ὁ διάκονος· ***Τοῦ Κυρίου δεηθῶμεν.*** Κύριε, ἐλέησον. ὁ ἱερεύς· ***Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...***

Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοή... πᾶσα τὸν Κύριον.

ὁ διάκονος· ***Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.*** Κύριε, ἐλέησον. (γ´)

ὁ διάκονος· ***Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.***

ὁ ἱερεύς· ***Εἰρήνη πᾶσι.*** Καὶ τῷ Πνεύματί σου.

ὁ ἱερεύς· ***Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.***

ὁ διάκονος· ***Πρόσχωμεν.*** Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ ἱερεὺς ἀναγινώσκει τὸ ἐνδιάτακτον Ἑωθινὸν Εὐαγγέλιον

### Ἑωθινὸν Α´

Ἐκ τοῦ κατὰ Ματθαῖον

(κη´ 16-20)

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξά-

ζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

οἱ χοροὶ ψάλλουν ἀντιφωνικῶς κατὰ στίχον

Ἦχος β´.

Ἐλεῆμον, Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ τὸ πεντηκοστάριον. Ἦχος ὁ αὐτός.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος

*Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...* Κύριε, ἐλέησον. (ιβ΄) *Ἐλέει καὶ οἰκτιρμοῖς...* Ἀμήν.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

ὁ τῆς ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς ϛ΄ ἄνευ στίχων

ποίημα Ἰωάννου Μοναχοῦ

Ἦχος α΄.

### Ὠιδὴ α΄. Ὁ Εἱρμός.

Ἄισωμεν πάντες λαοί, τῷ ἐκ πικρᾶς δουλείας, Φαραὼ τὸν Ἰσραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θαλάσσης, ποδὶ ἀβρόχως ὁδηγήσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται. (δίς)

Σήμερον ἔαρ ψυχῶν, ὅτι Χριστὸς ἐκ τάφου, ὥσπερ ἥλιος ἐκλάμψας τριήμερος, τὸν ζοφερὸν χειμῶνα ἀπήλασε τῆς ἁμαρτίας ἡμῶν· αὐτὸν ἀνυμνήσωμεν, ὅτι δεδόξασται. (δίς)

Δόξα.

Ἡ βασιλὶς τῶν ὡρῶν, τῇ λαμπροφόρῳ ἡμέρᾳ, ἡμερῶν τε βασιλίδι φανότατα, δορυφοροῦσα τέρπει, τὸν ἔγκριτον τῆς Ἐκκλησίας λαόν, ἀπαύστως ἀνυμνοῦσα, τὸν ἀναστάντα Χριστόν.

Καὶ νῦν.

Πύλαι θανάτου Χριστέ, οὐδὲ τοῦ τάφου σφραγῖδες, οὐδὲ κλεῖθρα τῶν θυρῶν σοι ἀντέστησαν· ἀλλ᾿ ἐξαναστὰς ἐπέστης, τοῖς φίλοις σου εἰρήνην Δέσποτα δωρούμενος, τὴν πάντα νοῦν ὑπερέχουσαν.

### Ὠιδὴ γ΄. Ὁ Εἱρμός.

Στερέωσόν με Χριστέ, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου, καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου· οὐκ ἔστι γὰρ ἅγιος, πλήν σου φιλάνθρωπε. (δίς)

Καινοὺς ἀντὶ παλαιῶν, ἀντὶ φθαρτῶν δὲ ἀφθάρτους, διὰ Σταυροῦ σου Χριστέ, τελέσας ἡμᾶς, ἐν καινότητι ζωῆς πολιτεύεσθαι, ἀξίως προσέταξας. (δίς)

Δόξα.

Ἐν τάφῳ περικλεισθείς, τῇ περιγράπτῳ σαρκί σου, ὁ ἀπερίγραπτος, Χριστὲ ἀνέστης· θυρῶν κεκλεισμένων δὲ ἐπέστης, σοῦ τοῖς Μαθηταῖς, παντοδύναμε.

Καὶ νῦν.

Τοὺς μώλωπάς σου Χριστέ, οὓς ἑκουσίως ὑπέστης, ὑπὲρ ἡμῶν τοῖς Μαθηταῖς σου φυλάξας μαρτύριον, τῆς σῆς ἔδειξας, ἐνδόξου Ἀναστάσεως.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

* * *

ἡ Ὑπακοή. Ἦχος πλ. β΄.

Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου Σωτήρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ᾿ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

### Ὠιδὴ δ΄. Ὁ Εἱρμός.

Μέγα τὸ μυστήριον, τῆς σῆς Χριστὲ οἰκονομίας! τοῦτο γὰρ ἄνωθεν προβλέπων, θεοπτικῶς ὁ Ἀββακούμ· Ἐξῆλθες ἐβόα σοι, εἰς σωτηρίαν λαοῦ σου φιλάνθρωπε. (δίς)

Χολῆς μὲν ἐγεύσατο, τὴν πάλαι γεῦσιν ἰώμενος· νυνὶ δὲ σὺν κηρίῳ μέλιτος, τοῦ φωτισμοῦ μεταδιδοὺς Χριστὸς τῷ Προπάτορι, καὶ τῆς αὐτοῦ γλυκείας μεθέξεως.

Χαίρεις ἐρευνώμενος, διὸ φιλάνθρωπε πρὸς τοῦτο, προτρέπεις τὸν Θωμᾶν, προτείνων διαπιστοῦντι τὴν πλευράν, τῷ κόσμῳ πιστούμενος, τὴν σὴν Χριστὲ τριήμερον Ἔγερσιν.

Δόξα.

Πλοῦτον ἀρυσάμενος, ἐκ θησαυροῦ τοῦ ἀσυλήτου, τῆς θείας Εὐεργέτα, λόγχῃ διανοιγείσης σου

πλευρᾶς, σοφίας καὶ γνώσεως, ἀναπιμπλᾷ τὸν κόσμον ὁ Δίδυμος.

Καὶ νῦν.

Σοῦ ἡ παμμακάριστος, ὑμνεῖται γλῶσσα ὢ Δίδυμε· πρώτη γὰρ εὐσεβῶς κηρύττει τὸν ζωοδότην Ἰησοῦν, Θεόν τε καὶ Κύριον, ἐκ τῆς ἁφῆς πλησθεῖσα τῆς χάριτος.

### Ὠιδὴ ε΄. Ὁ Εἱρμός.

Ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε Χριστέ, τὸν τῷ Πατρὶ συνάναρχον, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν· τὴν εἰρήνην τῷ κόσμῳ, παράσχου φιλάνθρωπε. (δίς)

Ἐπιστὰς τοῖς Φίλοις ἀθυμοῦσιν ὁ Σωτήρ, τῇ παρουσίᾳ ἅπασαν, ἀπελαύνει τὴν κατήφειαν, καὶ σκιρτᾶν διεγείρει, τῇ Ἀναστάσει αὐτοῦ. (δίς)

Δόξα.

Ὢ τῆς ἀληθῶς ἐπαινουμένης τοῦ Θωμᾶ, φρικτῆς ἐγχειρήσεως! τολμηρῶς γὰρ ἐψηλάφησε τὴν πλευράν, τὴν τῷ θείῳ πυρὶ ἀπαστράπτουσαν.

Καὶ νῦν.

Ἀπιστίαν πίστεως γεννήτριαν ἡμῖν, τὴν τοῦ Θωμᾶ ἀνέδειξας· σὺ γὰρ πάντα τῇ σοφίᾳ σου, προνοεῖς συμφερόντως, Χριστὲ ὡς φιλάνθρωπος.

### Ὠιδὴ ϛ΄. Ὁ Εἱρμός.

Τὸν Προφήτην διέσωσας, ἐκ τοῦ κήτους Φιλάνθρωπε, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων, ἀνάγαγε δέομαι. (δίς)

Τὸν Θωμᾶν οὐ κατέλιπες, βαπτιζόμενον Δέσποτα, βυθῷ ἀπιστίας παλάμας, προτείνας εἰς ἔρευναν. (δίς)

Δόξα.

Ὁ Σωτὴρ ἡμῶν ἔλεγε· Ψηλαφῶντες με ἴδετε, ὀστέα καὶ σάρκα φοροῦντα· ἐγὼ οὐκ ἠλλοίωμαι.

Καὶ νῦν.

Τὴν πλευρὰν ἐψηλάφησε, καὶ πιστεύσας ἐπέγνωκε, Θωμᾶς μὴ παρὼν σου τῇ πρώτῃ, εἰσόδῳ Σωτὴρ ἡμῶν.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

***Σὺ γὰρ εἶ ὁ Βασιλεύς...***

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον. Ἦχος πλ. δ΄.

Τῇ φιλοπράγμονι δεξιᾷ, τὴν ζωοπάροχόν σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε Χριστὲ ὁ Θεός· συγκεκλεισμένων γὰρ τῶν θυρῶν ὡς εἰσῆλθες, σὺν τοῖς λοιποῖς Ἀποστόλοις ἐβόα σοι, Κύριος ὑπάρχεις καὶ Θεός μου.

ὁ Οἶκος

Τίς ἐφύλαξε τὴν τοῦ Μαθητοῦ παλάμην τότε ἀχώνευτον, ὅτε τῇ πυρίνῃ πλευρᾷ προσῆλθε τοῦ Κυρίου; τίς ἔδωκε ταύτῃ τολμᾶν, καὶ ἴσχυσε ψηλαφῆσαι φλόγεον ὀστοῦν; πάντως ἡ ψηλαφηθεῖσα· εἰ μὴ γὰρ ἡ πλευρὰ δύναμιν ἐχορήγησε πηλίνῃ δεξιᾷ, πῶς εἶχε ψηλαφῆσαι παθήματα, σαλεύσαντα τὰ ἄνω καὶ τὰ κάτω; Αὕτη ἡ χάρις Θωμᾷ ἐδόθη, ταύτην ψηλαφῆσαι, Χριστῷ δὲ ἐκβοῆσαι· Κύριος ὑπάρχεις καὶ Θεός μου.

### Συναξάριον.

Τῇ ΙΒ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἐπιφανίου, Ἐπισκόπου Κωνσταντίας τῆς Κύπρου.

Στίχοι

Φανεὶς Ἐπιφάνιος ἐν Κύπρῳ μέγας,
Κλέος παρ᾽ αὐτῇ καὶ θανὼν ἔχει μέγα.
Τῇ δυωκαιδεκάτῃ Ἐπιφάνιον μόρος εἷλε.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γερμανοῦ Α΄ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ, Πολιούχου Πρεσπῶν.

Στίχοι

Χαίρων ἀφεὶς γῆν Γερμανὸς καὶ γῆς θρόνον,
Γῆς Δημιουργοῦ τὸν θρόνον χαίρει βλέπων.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Πατὴρ ἡμῶν Θεόδωρος ὁ ἐν Κυθήροις, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Χριστοῦ δωρεῶν ἐπωνυμίαν φέρων,
Βροτοῖς ἴασιν ἀεὶ πηγάζεις, Πάτερ.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος ἔνδοξος Νεομάρτυς Ἰωάννης Βλάχος, ὁ ἐν Κωνσταντινουπόλει μαρτυρήσας, ἀγχόνῃ τελειοῦται.

Στίχοι

Σώφρων ὑπάρχων, ὦ Ἰωάννη Βλάχε,
Ἀθλεῖς ἄριστα δι᾽ ἀγάπην Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἄθλησις τοῦ Ἁγίου Ἐνδόξου Νεομάρτυρος Ἰωάννου, τοῦ ἐν Σέῤῥαις μαρτυρήσαντος.

Στίχοι

Ἔχαιρεν ὑμνῶν Ἰωάννης ἐν μέσῳ,
Θεόν καμίνου ὡς πάλαι νεανίαι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Γερμανοῦ, τοῦ Θεσσαλονικέως, τοὐπίκλην Μαρούλη, τοῦ ἰσαγγέλως ἐν Ἄθωνι ἀσκήσαντος. (+1336)

Στίχοι

Γερμανέ, ἀφάτου ὑπακοῆς κέρας,
Ἡγίασας Ἄθωνα ἱδρώτων ῥείθροις.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Λέοντος τοῦ νέου, τοῦ ἐκ Καλαβρίας ἐν Μεθώνῃ θαυματουργοῦ.

Στίχοι

Καὶ πρὶν μὲν ηὔχει ὁ Λέων ἐν τοῖς πόνοις,
Αὐχεῖ δὲ καὶ νῦν, ἀφορῶν ὡς πρὸς στέφη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φιλίππου τοῦ ἐν Ἀργυρίῳ τῆς Σικελίας.

Στίχοι

Εὐχὰς ὡς ὅπλον ὁ Φίλιππος κατέχων,
Δαιμόνων τρέπει τὰ στίφη πανευκόλως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Διονυσίου, ἀρχιμανδρίτου τῆς Λαύρας τῆς Ἁγίας Τριάδος τοῦ Ἁγίου Σεργίου.

Στίχοι

Μεσίτης πιστῶν πρὸς τὴν σεπτὴν Τριάδα,
Ἧς, Διονύσιος, τῆς Μονῆς προέστη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νεκταρίου τῆς Ὄπτινα, τοῦ διορατικοῦ καὶ Ὁμολογητοῦ. (+1928)

Στίχοι

Ἐν ἐσχάταις ἡμέραις ἀποστασίας
Οὐρανοῦ νέκταρ ἐδείχθης τῆς Ἐκκλησίας.

καὶ τῆς ἑορτῆς

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ δευτέρᾳ ἀπὸ τοῦ Πάσχα, τὰ ἐγκαίνια ἑορτάζομεν τῆς Χριστοῦ Ἀναστάσεως, καὶ τὴν τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ ψηλάφησιν καὶ σωτήριον ὁμολογίαν.

Στίχοι

Εἰ νηδύος κλείς, ἢ τάφου μὴ κωλύει,
Σὴν Σῶτερ ὁρμήν, κλεῖς θυρῶν πῶς κωλύσει;

Ἔτι δὲ καὶ Σύναξιν ἐπιτελοῦμεν τῶν ἐν Μάκρῃ τῆς Ἀλεξανδρουπόλεως τυθέντων πέντε Νεομαρτύρων ἐν ἔτει ͵αωλε´ (1835), Μανουήλ τοῦ Κυπρίου, Γεωργίου, Θεοδώρου, Μιχαήλ καί Λάμπρου, τῶν ἐκ Σαμοθράκης.

Στίχοι

Χορὸν τὸν πεντάριθμον νέων μαρτύρων,
Σαμοθρᾴκη, γέραιρε νῦν ἐπαξίως.
Ἕκτῃ, γενναίοις γ᾽ ἐφάνη βιότοιο τελευτή.
Πεντάριθμον σύνταγμα νέων Μαρτύρων
Ἀθλήσαντες ᾔσχυναν πλάνης τὸ κράτος.
Ἕκτῃ πεντὰς ἀεθλοφόρων γηθόσυνοι γαῖαν λίπον.

Ταῖς τοῦ σοῦ Ἀποστόλου Θωμᾶ πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

αὖθις, αἱ λοιπαὶ ᾠδαὶ τοῦ Κανόνος.

## ᾨδὴ ζ´. Ὁ Εἱρμός.

Εἰκόνι λατρεύειν, μουσικῆς συμφωνίας, συγκαλουμένης λαούς, ἐκ τῶν ᾠδῶν Σιὼν ᾄδοντες, πατρικῶς οἱ Παῖδες Δαυῒδ, τυράννου ἔλυσαν, τὸ παλίμφημον δόγμα, καὶ τὴν φλόγα εἰς δρόσον μετέβαλον, ὕμνον ἀναμέλποντες· Ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. (δίς)

Ὡς πρώτη ὑπάρχει, ἡμερῶν καὶ κυρία, ἡ λαμπροφόρος αὕτη, ἐν ᾗ ἀγάλλεσθαι ἄξιον, τὸν καινὸν καὶ θεῖον λαόν· ἐν τρόμῳ φέρει γάρ, καὶ αἰῶνος τὸν τύπον, ὡς ὀγδόας τελοῦσα τοῦ μέλλοντος. Ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ μόνος τολμήσας, τῇ ἀπίστῳ τε πίστει, εὐεργέτησας ἡμᾶς, Θωμᾶς ὁ Δίδυμος, λύει μὲν τὴν ζοφώδη ἄγνοιαν τοῖς πᾶσι πέρασι, τῇ πιστῇ ἀπιστίᾳ· ἑαυτῷ δὲ τὸν στέφανον πλέκει σαφῶς, λέγων· Σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

Οὐ μάτην διστάσας, ὁ Θωμᾶς τῇ Ἐγέρσει σου, οὐ κατέθετο, ἀλλ᾽ ἀναμφίλεκτον ἔσπευδεν, ἀποδεῖξαι ταύτην, Χριστὲ τοῖς πᾶσιν ἔθνεσιν· ὅθεν δι᾽ ἀπιστίας πιστωσάμενος πάντας, ἐδίδαξε λέγειν· Σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν.

Ἐμφόβως τὴν χεῖρα, ὁ Θωμᾶς τῇ πλευρᾷ σου, τῇ ζωηφόρῳ Χριστέ, ἐνθεὶς ὑπότρομος ᾔσθετο, ἐνεργείας Σῶτερ διπλῆς τῶν δύο φύσεων, τῶν ἐν σοὶ ἡνωμένων ἀσυγχύτως, καὶ πίστει ἐκραύγαζε, λέγων· Σὺ εἶ Κύριος, ὁ ὑπερυψούμενος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

## ᾨδὴ η´. Ὁ Εἱρμός.

Τὸν ἐν φλογὶ πυρός, καιομένης καμίνου διαφυλάξαντα Παῖδας, καὶ ἐν μορφῇ Ἀγγέλου συγκαταβάντα τούτοις, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. (δίς)

Ἐπιποθήσας σου, τὴν χαρμόσυνον θέαν, τὸ πρὶν ἠπίστει ὁ Θωμᾶς· ἀξιωθεὶς δὲ ταύτης, Θεὸν καὶ Κύριον σε ἐκάλει Δέσποτα· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. (δίς)

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα τὸν Κύριον.

Τὸν ἀνασχόμενον, τῆς Θωμᾶ ἀπιστίας, καὶ ὑποδείξαντα πλευράν, καὶ τῇ αὐτοῦ παλάμῃ ἀκριβολογηθέντα, ὑμνεῖτε Κύριον, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

Σοῦ τὸ περίεργον, θησαυρὸν ἡμῖν ἀνέῳξε Θωμᾶ· θεολογήσας γλώσσῃ γὰρ θεοφορουμένῃ, Ὑμνεῖτε, ἔλεγες, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

Τοῦ Πάσχα

Ὠιδὴ α΄. Ἦχος α΄.

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν, λαοί· Πάσχα Κυρίου Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν καὶ ἐκ γῆς πρὸς οὐρανὸν Χριστὸς ὁ Θεὸς ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

Ὠιδὴ γ΄.

Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ᾽ ἀφθαρσίας πηγὴν ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ...

... ἐν ᾧ στερεούμεθα.

Ὠιδὴ δ΄.

Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ στήτω μεθ᾽ ἡμῶν καὶ δεικνύτω φαεσφόρον ἄγγελον διαπρυσίως λέγοντα· Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ὠιδὴ ε΄.

Ὀρθρίσωμεν ὄρθρου βαθέος καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ· καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

Ὠιδὴ στ΄.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς καὶ συνέτριψας μοχλούς, αἰωνίους κατόχους πεπεδημένων, Χριστέ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Ὠιδὴ ζ΄.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος πάσχει ὡς θνητὸς καὶ διὰ πάθους τὸ θνητὸν ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ὠιδὴ η΄.

*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτὴ καὶ πανήγυρίς ἐστι πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

ὁ διάκονος· ***Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.***

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται.
ψάλλεται δὲ ἐκ τοῦ Κανόνος ἡ θ΄ ᾠδὴ

Ὠιδὴ θ΄. Ὁ Εἱρμός.

Σὲ τὴν φαεινὴν λαμπάδα, καὶ Μητέρα τοῦ Θεοῦ, τὴν ἀρίζηλον δόξαν καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων ἐν ὕμνοις μεγαλύνομεν. (δίς)

Σοῦ τὴν φαεινὴν ἡμέραν, καὶ ὑπέρλαμπρον Χριστὲ τὴν ὁλόφωτον χάριν, ἐν ᾗ ὡραῖος κάλλει τοῖς Μαθηταῖς σου, ἐπέστης μεγαλύνομεν. (δίς)

Δόξα.

Σὲ τὸν χοϊκῇ παλάμῃ, ψηλαφώμενον πλευράν, καὶ μὴ φλέξαντα ταύτην, πυρὶ τῷ τῆς ἀΰλου θείας οὐσίας, ἐν ὕμνοις μεγαλύνομεν.

Καὶ νῦν.

Σὲ τὸν ὡς Θεὸν ἐκ τάφου, ἀναστάντα Χριστόν, οὐ βλεφάροις ἰδόντες, ἀλλὰ καρδίας πόθῳ πεπιστευκότες, ἐν ὕμνοις μεγαλύνομεν.

Καταβασία. Ὠιδὴ θ΄.

Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ· Ἁγνὴ Παρθένε, χαῖρε, καὶ πάλιν ἐρῶ, χαῖρε· ὁ σὸς Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών· σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

***Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...***

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἦχος β´.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ...

... ὅτι ἅγιός ἐστιν.

Ἐξαποστειλάρια τῆς ἑορτῆς.

Ἦχος γ´. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐμῶν μελῶν χειρί σου, ἐξερευνήσας τὰς πληγάς, μή μοι Θωμᾶ ἀπιστήσῃς, τραυματισθέντι διὰ σέ· σὺν Μαθηταῖς ὁμοφρόνει, καὶ ζῶντα κήρυττε Θεόν. (δίς)

Ἕτερον, ὅμοιον.

Σήμερον ἔαρ μυρίζει, καὶ καινὴ κτίσις χορεύει· σήμερον αἴρονται κλεῖθρα, θυρῶν καὶ τῆς ἀπιστίας, Θωμᾶ τοῦ φίλου βοῶντος· Ὁ Κύριος καὶ Θεός μου. (ἅπαξ)

* * *

## ΑΙΝΟΙ

Ἦχος α´.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Ἱστῶμεν Στίχους δ´, καὶ ψάλλομεν τὰ ἑπόμενα Στιχηρὰ Προσόμοια.

Ἦχος α´. Πανεύφημοι Μάρτυρες.

Στίχ. α´. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Μετὰ τὴν ἐκ τάφου σου φρικτήν, Ζωοδότα Ἔγερσιν, ὥσπερ σφραγῖδας οὐκ ἔλυσας, Χριστὲ τοῦ μνήματος, οὕτω κεκλεισμένων, θυρῶν εἰσελήλυθας, πρὸς τοὺς πανευκλεεῖς Ἀποστόλους σου, χαροποιῶν αὐτούς, καὶ εὐθές σου παρεχόμενος, τούτοις Πνεῦμα, δι᾽ ἄμετρον ἔλεος.

Στίχ. β´. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Μετὰ τὴν ἐκ τάφου σου φρικτήν, ...

Στίχ. γ´. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Θωμᾶς ὁ καὶ Δίδυμος οὐκ ἦν, ἐνδημῶν ἡνίκα σύ, τοῖς Μαθηταῖς ὤφθης Κύριε· ὅθεν ἠπίστησε, τῇ σῇ Ἀναστάσει, καὶ τοῖς κατιδοῦσί σε, ἐβόα· Εἰ μὴ βάλω τὸν δάκτυλον, εἰς τὴν πλευρὰν αὐτοῦ, καὶ τῶν ἥλων τὰ τυλώματα, οὐ πιστεύω, ὅτι ἐξεγήγερται.

Στίχ. δ´. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὡς θέλεις ψηλάφησον Χριστός, τῷ Θωμᾷ ἐβόησε· βάλε τὴν χεῖρα καὶ γνῶθί με ὀστέα ἔχοντα, καὶ γεῶδες σῶμα· καὶ μὴ γίνου ἄπιστος, ἐπίσης δὲ τοῖς ἄλλοις πιστώθητι· ὁ δὲ ἐβόησεν· Ὁ Θεός μου καὶ ὁ Κύριος, σὺ ὑπάρχεις· δόξα τῇ Ἐγέρσει σου.

Δόξα. Καὶ νῦν. Ἦχος πλ. β´.

Μεθ᾽ ἡμέρας ὀκτὼ τῆς Ἐγέρσεώς σου Ἰησοῦ βασιλεῦ, μονογενὲς Λόγε τοῦ Πατρός, ὤφθης τοῖς Μαθηταῖς σου, κεκλεισμένων τῶν θυρῶν, τὴν εἰρήνην σου παρεχόμενος· καὶ τῷ ἀπιστοῦντι Μαθητῇ τοὺς τύπους ἔδειξας. Δεῦρο ψηλάφησον τὰς χεῖρας, καὶ τοὺς πόδας, καὶ τὴν ἀκήρατόν μου πλευράν· ὁ δὲ πεισθεὶς ἐβόα σοι· Ὁ Κύριός μου καὶ ὁ Θεός μου, δόξα σοι.

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (γ´)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ´)

Δόξα. Καὶ νῦν.
Ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

Καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ·
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

Καὶ τὸ Ἀπολυτίκιον. Ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ μνήματος ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι᾽ αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

τὸ Χριστὸς ἀνέστη ἐκ νεκρῶν... (ἐκ γ´)

Ἀντίφωνα τοῦ Πάσχα

Ἀντίφωνον Α´. Ἦχος β´. Ψαλμὸς ξε´ (65).

Στίχ. α´. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β´. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

Στίχ. γ΄. Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου Ὕψιστε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

### Ἀντίφωνον Β΄. Ἦχος β΄. Ψαλμὸς ξστ΄ (66).

Στίχ. α΄. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. β΄. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριον σου.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Στίχ. γ΄. Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Στίχ. δ΄. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

### Ἀντίφωνον Γ΄. Ἦχος πλ. α΄. Ψαλμὸς ξζ΄ (67).

Στίχ. α΄. Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Στίχ. β΄. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.
Χριστὸς ἀνέστη ...

Στίχ. γ΄. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.
Χριστὸς ἀνέστη ...

Στίχ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
Χριστὸς ἀνέστη ...

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν)

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν ...

... ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

Ἀπολυτίκιον. Ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ μνήματος ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι᾽ αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Κοντάκιον τοῦ Πάσχα.

Ἦχος πλ. δ΄. Αὐτόμελον.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος· Χαίρετε, καὶ τοῖς σοῖς ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

* * *

-------- ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ --------

* * *

τῆς Κυριακῆς τοῦ Θωμᾶ.

(Πράξ. ε΄ 12-20)

Προκείμενον. Ἦχος γ΄. (Ψαλμὸς ρμστ΄-ρλδ΄).

Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

Στίχ. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Ἐν ταῖς ἡμέραις ἐκείναις, διὰ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά· καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος· τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ᾽ ἐμεγάλυνεν αὐτοὺς ὁ λαός· μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάση τινὶ αὐτῶν. Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες. Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε· Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.

Ἀλληλούϊα. (γ΄)

Ἦχος πλ. δ΄. (Ψαλμὸς δ΄).

Στίχ. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν.

Στίχ. Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

* * *

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην

(κ΄ 19-31)

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν. Καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ᾽ αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Καὶ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ καὶ Θωμᾶς μετ᾽ αὐτῶν. Ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· Εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς

χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Καὶ ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ· ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

Δόξα σοι, Κύριε, δόξα σοι.

* * *

**Καὶ καθεξῆς ἡ Θεία Λειτουργία Ἰω.Χρυσοστόμου**

* * *

Εἰς τό· ***Ἐξαιρέτως τῆς Παναγίας…***

Ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς τοῦ Κανόνος. Ἦχος α΄.

Σὲ τὴν φαεινὴν λαμπάδα, καὶ Μητέρα τοῦ Θεοῦ, τὴν ἀρίζηλον δόξαν καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων ἐν ὕμνοις μεγαλύνομεν.

* * *

Κοινωνικόν.

Ἐπαίνει, Ἱερουσαλήμ, τὸν Κύριον, αἴνει τὸν Θεόν σου, Σιών. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν…

Ἦχος πλ. α΄.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἰς τό· ***Πάντοτε, νῦν καὶ ἀεί…***

Ἦχος β΄.

Ἀμήν, Ἀμήν, Ἀμήν. Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων καὶ φρικτῶν σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν. Ἦχος β΄.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ΄)

Ἀπόλυσις· *Ὁ ἀναστὰς ἐκ νεκρῶν...*

ντὶ δὲ τοῦ 'δι` εὐχῶν', ἐκφώνησις ὑπὸ τοῦ λειτουργοῦ·

***Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.***

ὁ δὲ Χορὸς ἀποκρίνεται ἐμμελῶς·

Ἀληθῶς ἀνέστη ὁ Κύριος.

* * * * *

**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε καὶ διανέμεται δωρεὰν**

**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο http://akolouthies.wordpress.com**

**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι. Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**

Ἀπολυτίκια τῶν συνεορταζομένων Ἁγίων

Ἀπολυτίκιον τῶν Ἱεραρχῶν.

(π.Γεωργίου Ῥήγα)

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Ξυνωρίδα τῆς θείας Ἐκκλησίας τὰς σάλπιγγας, Γερμανὸν σοφὸν Ἱεράρχην, καὶ κλεινὸν Ἐπιφά-

νιον, τιμήσωμεν προφρόνως οἱ πιστοί· τὸν μὲν ὡς ἐν φρονήματι στεῤῥῷ ὑπὲρ τῆς Χριστοῦ εἰκόνος, τὸν θεομάχον Λέοντα ἐλέγξαντα· ὡς μάστιγα δὲ αἱρέσεων δεινήν, τὸν ἅγιον Ἐπιφάνιον. Οὗτοι γὰρ ἐκτενῶς ὑπὲρ ἡμῶν, ἀεὶ πρεσβεύουσι.

Ἕτερον Ἀπολυτίκιον τῶν Ἱεραρχῶν.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τοὺς διττοὺς ὑποφήτας τῆς ἀνάρχου Θεότητος, τῶν θεοτυπώτων δογμάτων, τοὺς πανσόφους ἐκφάντορας σὺν τῷ Ἐπιφανίῳ τῷ κλεινῷ ὑμνήσωμεν τὸν θεῖον Γερμανόν· ὡς λαμπροὶ γὰρ ἀῤῥήτων μυσταγωγοί, πυρσεύουσι τοὺς κράζοντας· Δόξα τῷ στεφανώσαντι ὑμᾶς, δόξα τῷ μεγαλύναντι, δόξα τῷ βεβαιοῦντι δι᾽ ὑμῶν, πίστιν τὴν ὀρθόδοξον.

Ἕτερον Ἀπολυτίκιον.

(Θεοτέκνης μοναχῆς Μετεωριτίσσης)

Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος τῇ ἐνεργείᾳ λύχνοι ὤφθητε, τῆς Ἐκκλησίας, καὶ τῆς Χάριτος, θεόπνευστα ὄργανα, αἱρετικῶν ὀλετὴρ Ἐπιφάνιε, καὶ Γερμανὲ τῆς σοφίας ὁ κάλαμος. Ἀλλ᾽ αἰτήσασθε, Πατέρες θεομακάριστοι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον Ἁγίου Γερμανοῦ Πατριάρχου Κων/πόλεως.

(Γερασίμου Μικραγιαννανίτου)

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Σοφίας τοῖς δόγμασιν ἐκπαιδευθεὶς εὐκλεῶς, φωστὴρ ἐχρημάτισας, τῆς Ἐκκλησίας Χριστοῦ, ἐν λόγοις καὶ πράξεσι, σύμμορφος γὰρ ὑπάρχων, τῆς εἰκόνος Κυρίου, λύεις Εἰκονομάχων, τὴν ἀντίθεον πλάνην, διό σε ἱεράρχα Γερμανέ, Χριστὸς ἐδόξασε.

Ἕτερον Ἀπολυτίκιον.

(Θεοτέκνης μοναχῆς Μετεωριτίσσης)

Ἦχος γ΄. Μέγαν εὕρατο.

Θείοις στίγμασιν ὁμολογίας, ὑψηγόρῳ τε θεολογίᾳ τὴν Ἐκκλησίαν λαμπρῶς κατεκόσμησας, ὑπερμαχῶν Γερμανὲ ὑπὲρ Πίστεως, καὶ κοινωνὸς τῶν μαρτύρων γενόμενος· διὸ αἴτησαι, ἐλέους σοφὲ τὸν Πρύτανιν, δωρήσασθαι ἡμῖν ἐξ ὕψους δύναμιν.

Ἕτερον Ἀπολυτίκιον.

(Γεωργίου Γαλανόπουλου)

Ἦχος γ΄. Μέγαν εὕρατο.

Θεῖον βλάστημα Βασιλευούσης, ἐν ᾗ ἔλαμψας ὡς Πατριάρχης, Γερμανὲ ἀνεδείχθης πανάριστος· Ὁμολογίᾳ Χριστοῦ γὰρ ἐτράνωσας τὸ ἀληθὲς τῶν δογμάτων τῆς πίστεως. Ὧι παρίστασαι ὡς ἀθλητής, σοῦ δεόμεθα, μὴ παύσῃ ἱλάσκειν πάντοτε, δωρήσασθαι πιστοῖς χάριν καὶ ἔλεος.

Ἀπολυτίκιον τοῦ Ἁγίου Ἐπιφανίου.

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τῆς Φοινίκης ὁ κλάδος καὶ Κυπρίων τὸ στήριγμα, καὶ Κωνσταντίας ἀνεδείχθης, Ἐπιφάνιε, Πρόεδρος· διὸ ὁ Ἀσσυρίων βασιλεὺς πίπτει ποδῶν σου προσκυλινδούμενος· τὸ πνεῦμα διωκόμενον ἐξ αὐτοῦ διὰ τῆς σῆς δεήσεως· δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν, πρέσβυν ἀκοίμητον.

Ἕτερον Ἀπολυτίκιον τοῦ Ἁγίου Ἐπιφανίου.

Ἦχος γ΄. Θείας πίστεως.

Θείας Πίστεως, ἔγνως τὴν χάριν, καὶ θεόφθογγον, ἔσχηκας γλῶσσαν, Ἱεράρχα σοφὲ Ἐπιφάνιε· ὅθεν δογμάτων ὀρθαῖς ἀναπτύξεσιν, αἱρετικῶν θριαμβεύεις τὴν ἄνοιαν. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγας ἔλεος.

Ἕτερον Ἀπολυτίκιον.

(ὑπὸ Σεβ.Ἐδέσσης Ἰωὴλ Φραγκάκου)

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὀρθοδόξων τὸ νῖκος, καὶ ἐρήμου θησαύρισμα, καὶ Ἀρχιερέων τὸ κλέος, Σαλαμῖνος τὸν πρόμα-

χον, τὸν θεῖον Ἐπιφάνιον πιστοί, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, πρὸς αὐτὸν ἐν εὐλαβείᾳ χαρμονικῶς, τὸ Χαῖρε ἀνακράζοντες. Χαῖρε τῶν μοναζόντων ὁ ποιμήν, χαῖρε τῆς ἡσυχίας ἐντρύφημα, χαῖρε τῆς Θεολογίας ἀστὴρ ὁ ἀείφωτος.

### Ἕτερον Ἀπολυτίκιον.

(ὑπὸ Σεβ.Ῥόδου Κυρίλλου τοῦ Κογεράκη)

### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Αὐγασθεὶς τὴν καρδίαν, ταῖς ἀκτῖσι τῆς χάριτος, τοῦ Χριστοῦ ὀπίσω θεόφρον, ἀκλινῶς ἠκολούθησας· καὶ χρίσματι τοῦ Πνεύματος χρισθείς, ποιμὴν τῆς Ἐκκλησίας θαυμαστῶς, τῶν αἱρέσεων κατήσχυνας τὴν ὀφρύν, τῶν λόγων σου τῇ σοφίᾳ. Δόξα τῷ σε σοφίσαντι Χριστῷ, δόξα τῷ σε θαυμαστώσαντι, δόξα τῷ σε δοξάσαντι λαμπρῶς, σοφὲ Ἐπιφάνιε.

### Ἕτερον Ἀπολυτίκιον.

(ὑπὸ Ἱερομ.Ἀθανασίου Σιμωνοπετρίτου)

### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὑπακούσας τῇ κλήσει τοῦ Θεοῦ Ἐπιφάνιε, ὅλος ἐδουλώθης τῷ Λόγῳ, ἰσοβίως ὡς ἄριστα· διὸ τῆς Σαλαμῖνος θαυμαστῶς, ποιμὴν κεχειροτόνησαι σοφέ, ἔνθα θαύμασι καὶ λόγοις σου ἱεροῖς, τὴν πίστιν ἐμεγάλυνας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, ὃν καθικέτευε ἀεί, ὑπὲρ τῆς Κύπρου Ἅγιε.

### Ἕτερον Ἀπολυτίκιον.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ τοῦ Σωτῆρος παριστάμενος θρόνῳ, Ἀρχιεράρχα Ἐπιφάνιε πάτερ, ὑπὲρ ἡμῶν ἱκέτευε δεόμεθα, ὅπως λυτρωθείημεν, πειρασμῶν καὶ κινδύνων, καὶ παντοίων θλίψεων, οἱ τιμῶντές σε πόθῳ· σὺ γὰρ προστάτης πέφηνας ἡμῶν, καὶ πρὸς Χριστὸν πρεσβευτὴς ἑτοιμότατος.

### Ἕτερον Ἀπολυτίκιον.

(Γεωργίου Γαλανόπουλου)

### Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῆς Κύπρου τὸν Πρόεδρον καὶ Ἱεράρχην Χριστοῦ, Ποιμένων παράδειγμα ἐν μελῳδίαις πιστοὶ καὶ ὕμνοις τιμήσωμεν· Οὗτος γὰρ παῤῥησίᾳ Θεὸν Λόγον κηρύξας, ᾔσχυνε μεθοδείας τοῦ Βελίαρ ὡς ἔμφρων, ἀεὶ πρεσβεύων ὑπὲρ ἡμῶν τῷ Πανοικτίρμονι.

### Ἕτερον Ἀπολυτίκιον.

(Γεωργίου Γαλανόπουλου)

### Ἦχος γ΄. Θείας πίστεως.

Ἱερώτατε κῆρυξ τοῦ Λόγου, Ἐπιφάνιε Ἀρχιεράρχα σοφοῖς σου λόγοις, τὰ πλήθη κατήρδευσας, ἐκ τῶν ὀδόντων ἁρπάξας τοῦ δράκοντος, τοὺς διδασκάλους Ἑβραίων οὓς ἔσωσας· Ὢι παρίστασαι ὑπὲρ ἡμῶν σοῦ δεόμεθα, μὴ παύσῃ ἱλάσκειν πάντοτε, δωρήσασθαι λαῷ χάριν καὶ ἔλεος.

## Ἀπολυτίκιον τοῦ Ὁσίου Θεοδώρου Κυθήρων.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Κορώνης τὸν γόνον καὶ Κυθήρων τὸ καύχημα, θείων δωρεῶν τὸ δοχεῖον, θεοφόρον Θεόδωρον, τιμήσωμεν ἐν ὕμνοις ἱεροῖς· ἀπαύστως γὰρ δωρεῖται τοῖς πιστοῖς, πᾶσαν δόσιν καὶ πᾶν δώρημα ἀγαθόν, τοῖς εὐλαβῶς κραυγάζουσι· Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σε στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

### Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου Θεοδώρου.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος γ΄. Θείας πίστεως.

Θεῖον δώρημα, Κυθήρων νῆσος, τὴν ἁγίαν σου, κέκτηται Κάραν, θεοφόρε παμμάκαρ Θεόδωρε· καὶ ἐξ αὐτῆς τὰς ἰάσεις λαμβάνουσα, ἀνακηρύττει εὐσήμως τὴν χάριν σου. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου Θεοδώρου.
(Γερασίμου Μικραγιαννανίτου)
### Ἦχος γ΄. Θείας πίστεως.
Πλοῦτον ἄσυλον ἡ νῆσος ἔχει, τὴν κατάθεσιν τῶν σῶν λειψάνων, ἐξ ὧν καὶ χάριν θαυμάτων ἀρύεται, ἐκλυτρουμένη παθῶν καὶ κακώσεων· διὸ καὶ χαίρει τιμῶσα τὴν μνήμην σου. Πάτερ Ὅσιε Θεόδωρε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.
### Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου Θεοδώρου.
(Γερασίμου Μικραγιαννανίτου)
### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.
Τῆς Κορώνης τὸν γόνον καὶ Κυθήρων τὸ καύχημα, καὶ τῶν ἐκ Θεοῦ δωρημάτων, θησαυρὸν τὸν ἀκένωτον, Θεόδωρον τιμήσωμεν πιστοί. Ὁσίως γὰρ ἐν γῇ πολιτευθείς, ὡς ἐκ κρήνης χαρισμάτων τὰς δωρεὰς δωρεῖται τοῖς κραυγάζουσι· Δόξα τῷ παρασχόντι σοι ἰσχύν, δόξα τῷ σε στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.
### Ἀπολυτίκιον Ὁσίου Λέοντος.
(Ἰωάννου Πλεμμένου)
(ἀποτελεῖ παραλαγὴν Ἀπολυτικίου τοῦ Ἁγ.Νεκταρίου)
### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.
Καλαβρίας τὸν γόνον καὶ Μεθώνης τὸν ἔφορον, τὸν ἐν Μέσοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Λέοντα τιμήσωμεν, πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ, ἀναβλύζει γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι· Δόξα τῷ σε δοξάσαντι λαμπρῶς, δόξα τῷ σε στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.
### Ἀπολυτίκιον Ὁσίου Γερμανοῦ τοῦ Μαρούλη.
(Χαραλάμπους Μπούσια)
### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.
Ταπεινώσεως ἔσοπτρον διαυγέστατον, ὑπακοῆς ἐκμαγεῖον, καὶ ἀκραιφνοῦς ἀγωγῆς, ἐν τῷ Ὄρει τῷ ἁγίῳ σεμνολόγημα, σκεῦος χαρίτων Γερμανέ, ὁ εἰς ἄῤῥητον ἀρθείς, θεώσεως μάκαρ ὕψος, ὑπείκειν ταῖς τοῦ Κυρίου, ἡμᾶς ἀξίωσον ἐντάλμασι.
### Ἀπολυτίκιον Νεομάρτυρος Ἰωάννου Σεῤῥαίου
(Χαραλάμπους Μπούσια)
### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.
Εὐγενοῦς οἴκου γόνον Σεῤῥῶν τιμήσωμεν, ὡς Νεομάρτυρα θεῖον τὸν ἐν πυρὶ εὐκλεῶς ἐναθλήσαντα, φωναῖς αἰσίαις κράζοντες· τῆς εὐσεβείας ζηλωτά, χαριτώνυμε ἀμνὲ τοῦ Κτίσαντος, Ἰωάννη, χαρίτων πλῆσον καρδίας τῶν προφερόντων σου τὸ ὄνομα.
### Ἕτερον Ἀπολυτίκιον.
(Μανουὴλ καὶ Ἰωὴλ Ἐδέσσης)
### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.
Τῶν μαρτύρων τὸ κλέος, καὶ Σεῤῥῶν τὸ ἐκβλάστημα, καὶ τῶν παλαιῶν ἀθλοφόρων, μιμητὴν καὶ ὁμόπιστον, τὸν νέον Ἰωάννην εὐλαβῶς, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, τῶν χαρίτων γὰρ παρέχει τὰς δωρεάς, τοῖς πόθῳ ἀνακράζουσι· Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐν ἐσχάτοις τοῖς καιροῖς, λαμπρῶς σε ἀναδείξαντι.
### Ἀπολυτίκιον τοῦ Ὁσίου Νεκταρίου τῆς Ὄπτινα.
(ὑπὸ Ἀρχιμανδρίτου Χριστοδούλου Κοσμᾶ)
### Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.
Ἐσχάτοις χρόνοις λάμψας ὡς ἀστὴρ φαεινότατος τῶν κακουχουμένων προστάτης, Νεκτάριε θεοφάντορ, καὶ πάσης Ῥωσίας γλυκασμὸς ἐφάνης, καὶ πρὸς Κύριον ἱλασμός· ἐν ἐσόπτρῳ γὰρ λελαμπρυσμένῳ, Θεὸν κατεῖδες καὶ κρύφια ψυχῶν. Χαῖρε νῦν τῇ Τριάδι παρεστὼς αἴγλη θείᾳ λαμπόμενος ἔλεός τε δωρούμενος ἡμῖν τοῖς σε γεραίρουσι.

Τῇ αὐτῇ ἡμέρᾳ, δευτέρᾳ Κυριακῇ τοῦ μηνὸς Μαΐου, μνήμην ἐπιτελοῦμεν τῶν ἓξ Παρθένων Νεομαρτύρων τοῦ Γεροπλατάνου Χαλκιδικῆς πυρὶ ἐν τῷ μύλῳ τῆς κώμης τελειωθεισῶν χερσὶν ἐκγόνων τῆς Ἄγαρ, χάριν τηρήσεως ἀμολύντου τῆς σαρκὸς ἁγνότητος. 1854

Στίχοι

Γεροπλατάνου Νεάνιδες Παρθένοι
ἓξ ἐν μύλῳ πυρὶ ὡλοκαυτώθητε.

## Ἀπολυτίκιον τῶν Ἁγίων.

(Χαραλάμπους Μπούσια)

### Ἦχος πλ. α. Τὸν συνάναρχον Λόγον.

Νεομάρτυρες Κόραι Χριστοῦ τῆς πίστεως, Γεροπλατάνου Παρθένοι ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ αἱ καυθεῖσαι ἐν τῷ μύλῳ καὶ ἁγνότητος ἄρτι ὀφθεῖσαι καλλοναί, δυσωπεῖτε ἐκτενῶς, Νεάνιδες ἕξ, Νυμφίον ὑμῶν οὐράνιον πέμψαι ὑμᾶς τιμῶσι μέγα ἔλεος.

εὕρηται δὲ εἰς τὸ Μηνολόγιον καὶ ἡ ἑξῆς διπλῆ μνημόνευσις και στίχος:

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Ἰωάννου τοῦ ἐκ Σεῤῥῶν.

Στίχοι

Πυρὶ φοβερῷ ἐν Σέῤῥαις μαρτυρήσας,
Τούτων ἐδείχθη ὁ Ἰωάννης κλέος.